κρόν. ἐκ τούτου βραχὺ καὶ κατωφερὲς, ἅμα μὲν πρὸς τὴν λαγνείαν, ἅμα δὲ πρὸς τὴν ὄρχησιν. ἐμφαίνει δὲ αὐτοὺς καὶ μεγάλα αἰδοῖα ἔχοντας. Ἅλμην κυκᾷ.] ὡς πρὸς ἰχθῦς ὁ λόγος, ὅτι ἅλμην ὅτι πάντως ζωμός. καὶ τὸ πρὸς τὸ πολυφάγον αὐτοῦ. ἵνα γὰρ τὰ κρέα μὴ σήπηται, πάττεται τῇ ἅλμῃ. ἄλλως. ἐπειδὴ ἅλμην παρασκευάζουσιν ἐπὶ τῷ φαγεῖν ἰχθύδια ἢ καρκίνους. ὡς καρκίνοις οὖν αὐτοῖς χλευαστικῶς φησιν ὅτι παρασκεύαζε ἅλμην, ἵνα ἐὰν A

αὐτοὺς νικήσω ὀπτήσω αὐτοὺς καὶ φάγω.

CHRIST. Ἢν ἐγὼ κρατῶ] Non dubito quin legendum sit ἦν pro ἐὰν quod videtur placuisse Scholiastæ. Si inquit victor fuero, vide vt salsuram & muriam tuis filiis pares quò facilius eos obsonem. Versu sequenti, vt integrum sit metrum Aristophanicum lego αὐτοῖς ὀλίγον.

B

## ΧΟΡΟΣ, ΗΜΙΧΟΡΙΟΝ.

## CHORVS, SEMICHORVS.

BISETVS. Ο Χορὸς εἰς δύο μέρη διαιρεθεὶς ᾄδει, καὶ ὀρχεῖται, ὡς τῷ δράματι τέλος οὕτως ἐπιτίθησι.

Χο. Φέρε νῦν, ἡμεῖς αὐτοῖς ὀλίγον ξυγχωρήσωμεν ἅπαντες
Ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβικίζωσιν ἑαυτούς.

CH. *Agedum nunc nos pauxillum concedamus temporis ipsis*
*Tranquillè vt coram nobis sese versent turbinis instar.*

C

Σχόλια. Βεμβικίζωσιν.] διακινήσωσιν. βέμβηξ δὲ ὁ ξύλινος στρόμβος. ἐν ἐπιγράμματι,
Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
Ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
καὶ ἀλλαχοῦ Ἀριστοφάνης. βέμβικος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ εὐκίνητον καὶ εὔστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβηξ ἐργαλεῖον ὃν μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων. ὡς τροχὸς ὃς μάστιγι κόμβους στρέφεται. ὡς βεμβικιᾶν τὸ περιστρέφεσθαι. ὡς καρκίνοις δὲ ὁ χορὸς αὐτοῖς διαλέγεται.

D

CHRIST. Βεμβικίζωσιν] Id est circumagant se & versent, vt à pueris solet turbo. vnde in Auibus dixit βέμβικος οὐδὲν διαφέρεις, quibus verbis notatur τὸ εὔστροφον & εὐκίνητον horum Salisubsulorum. Neque alia ratione in Irena hos Carcini filios Strobilos vocat propter orbiculatam ὄρχησιν, tum quia στρόβιλοι dicantur limaces & ceryces turbinati, Quæ ideò hic addita volumus præter quæ ad Irenam notata à nobis, Quia illic, perperam diximus nescio quæ de nucleis pineis qui & Strobili dicti, sed (vt arbitror) ἀπροσδιονύσως. Ludit autē Comicus ad nomen στροβίλων, cùm paulò post ait στρόβει, παράβαινε κύκλῳ. &c. Propriè autem καρίδων mentionem facit, quod est Squillæ & Cancri genus quod nos à saltatione capreolas dicimus.

## ΣΤΡΟΦΗ κώλων ι.

## STROPHA Col. x.

Ημι. Ἄγ' ὦ μεγαλώνυμα
Τέκνα τοῦ θαλασσίου,
Πηδᾶτε παρὰ ψάμαθον
Καὶ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Καρίδων ἀδελφοί.
Ταχὺν πόδα κύκλῳ σοβεῖτε.
Καὶ τὸ Φρυνίχειον
Ἐκλακτισάτω τις ὅπως
Ἄδοντες ἄνω σκέλος,
Ὠζωσιν οἱ θεαταί.

E

SEM. *Age inclyta nomina*
*O maris propagines,*
*Saltate prope pelagi*
*Littus, steriles & arenas:*
*Caridum ite fratres*
*Citos pedes mouete in orbem,*
*Tum recalcitrans quis*
*Alto pede Phrynichium*
*In schema eat, accinens*
*Miretur vt theatrum.*

F

Σχόλια. Καὶ τὸ Φρυνίχειον.] δῆλον ὡς σημειῶδές τι ἦν τὸ Φρυνίχειον. τὸ εἰς ὕψος ἐν τῇ ὀρχήσει ἐκλακτίζειν. τὸ δὲ ὤζωσιν, ἀντὶ τοῦ θαυμαστικόν τι λέγωσι. συνέθετο δὲ ὡς τὸ οἰμώζειν καὶ κλώζειν, ἀπὸ τοῦ ὢ θαυμαστικοῦ.

CHRIST. Ὠζωσιν οἱ θεαταί] Id est Admiratione perculsi spectatores clament & vociferentur, cùm videris arduos secundum Phrynichum saltus, crure scilicet in sublime extenso. Puto verò legendum per o magnum ὠζωσιν, Fictum verbum à particulis ὢ ὢ quo etiam vsus est Æschylus in Diris, proinde vt ab αἶ αἶ verbum αἰάζειν, ab οἴμοι verbum οἰμώζειν, & à φεῦ φεῦ fecit etiam idem Æschylus nouum verbum φεύζειν in Agamemnone, vbi cùm Cassandra dixisset φεῦ φεῦ, respondet Chorus τί τοῦτ' ἔφευξας; Ego verò arbitror etiam ab ἒ ἒ manasse ἐλέγους eadem ratione vel potius ἀναλογίᾳ. G

## ΣΤΡΟΦΗ ἑτέρα στίχων ι.

## STROPHA altera ver. 10.

Ημ. Στρέβει. παράβαινε κύκλῳ. καὶ γάστριζε σεαυτὸν

SEM. *Procede, chorúmque moue, pectus tuum retundens*

CHRIS.